XXXIV.

GRIEKSCHE EN LATIJNSCHE SCHRIJVERS MET AANTEEKENINGEN
UITGEGEVEN VOLGENS BESLUIT VAN HET GENOOTSCHAP VAN LEERAREN
AAN NEDERLANDSCHE GYMNASIA, ENZ.
(54ste Algem. Vergadering — 13 Juli 1884).

PLATONIS CRITO

MET AANTEEKENINGEN VOORZIEN

DOOR

Dr. J. W. VAN ROOYEN,
RECTOR VAN HET GYMNASIUM TE SNEEK.

BOEKHANDEL EN DRUKKERIJ
voorheen
E. J. BRILL
LEIDEN — 1921.

GRIEKSCHE EN LATIJNSCHE SCHRIJVERS MET AANTEEKENINGEN

UITGEGEVEN VOLGENS BESLUIT VAN HET GENOOTSCHAP VAN LEERAREN AAN NEDERLANDSCHE GYMNASIA, ENZ.

(54ste Algem. Vergadering — 13 Juli 1884).

I. **HARTMAN (J. J.)**, Lucianus. Het Leven van Alexander den Leugenprofeet. 1884. 8°. . . . . *f* 0.70.

II. **WARREN (S. J.)**, Bloemlezing uit acht dialogen van Plato. 3e druk. 1919. 8°. . . . . *f* 1.40.

III. **VAN DER WEERD (W. G.)**, Horatius' Oden en Epoden. 2e druk. 1900. 8°. . . . . *f* 1.55.

IV. **KUIPER (K.)**, Io. Drama van Euripides. 1885. 8°. *f* 0.85.

V. **VAN LEEUWEN Jr. (J.)**, Blijspelen van Aristophanes, met inleiding en aanteekeningen voorzien. Eerste Stuk: De Acharniërs. 1885. 8°. . . . . *f* 1.30.

VI. **SCHLIMMER (J. G.)**, Vier Redevoeringen van Cicero. Met inleiding en aanteekeningen voorzien. 1886. 8°. *f* 1.20.

VII. **VAN DER WEERD (W. G.)**, Horatius' Satiren en Brieven. 3e druk. 1919. 8°. . . . . *f* 1.55.

VIII. **VAN DER VLIET (J.)**, Vergilius' Aeneis. Afl. 1 (Lib. I en II). 2e druk. 1897. 8°. . . . . *f* 0.85.

IX. **KUIPER (K.)**, Medea. Treurspel van Euripides. 1887. 8°. (Uitverkocht) . . . . *f* 0.75.

X. **VAN DER VLIET (J.)**, Vergilius' Aeneis. Afl. 2 (Lib. III en IV). 2e druk. 1898. 8°. . . . . *f* 0.85.

XI. **SPEYER (J. S.)**, Blijspelen van Plautus, met aanteekeningen uitgegeven. Eerste stuk. Captivi.. 1887. 8°. *f* 1.20.

XII. **HARTMAN, (J. J.)**, Xenophons gedenkwaardigheden van Socrates. 1888. 8°. . . . . *f* 1.20.

XIII. **HARTMAN (J. J.)**, Xenophons Oeconomicus Geëmendeerd en van ophelderingen voorzien 1888. 8°. . . . *f* 0.85.

XIV. **VAN DER VLIET (J.)**, Vergilius' Aeneis. Afl. 3 (Lib. V en VI). 2e druk. 1899. 8°. . . . . *f* 0.85.

XV. **VAN DER VLIET (J.)**, Vergilius' Aeneis. Afl. 4 (Lib. VII en VIII). 1889. 8°. . . . . *f* 0.85.

XVI. **KRUITBOSCH (B.)**, Bloemlezing uit Ovidius' Tristia. 1890. 8°. *f* 1.20.

XVII. **VAN DER VLIET (J.)**, Vergilius' Aeneis. Afl. 5 (Lib. IX en X). 1890. 8°. . . . . *f* 0.85.

PLATONIS CRITO

PLATONIS CRITO

MET AANTEEKENINGEN VOORZIEN

DOOR

Dr. J. W. VAN ROOYEN,
RECTOR VAN HET GYMNASIUM TE SNEEK.



BOEKHANDEL EN DRUKKERIJ
voorheen
E. J. BRILL
LEIDEN — 1921.

BOEKDRUKKERIJ VOORHEEN E. J. BRILL — LEIDEN.

ΚΡΙΤΩΝ

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΣΩΚΡΑΤΗΣ, ΚΡΙΤΩΝ.

---

43 ΣΩ. *Τί τηνικάδε ἀφῖξαι, ὦ Κρίτων; ἢ οὐ πρῴ ἔτι ἐστίν;*

ΚΡ. *Πάνυ μὲν οὖν.*

ΣΩ. *Πηνίκα μάλιστα;*

ΚΡ. *Ὄρθρος βαθύς.*

ΣΩ. *Θαυμάζω, ὅπως ἠθέλησέ σοι ὁ τοῦ δεσμωτηρίου φύλαξ ὑπακοῦσαι.*

ΚΡ. *Ξυνήθης ἤδη μοί ἐστιν, ὦ Σώκρατες, διὰ τὸ πολλάκις δεῦρο φοιτᾶν, καί τι καὶ εὐεργέτηται ὑπ' ἐμοῦ.*

ΣΩ. *Ἄρτι δὲ ἥκεις ἢ πάλαι;*

ΚΡ. *Ἐπιεικῶς πάλαι.*

B ΣΩ. *Εἶτα πῶς οὐκ εὐθὺς ἐπήγειράς με, ἀλλὰ σιγῇ παρακάθησαι;*

I. Inleiding. Uiteenzetting van den toestand en van de aanleiding tot het gesprek.

Voor de levensbeschrijvingen van Sokrates en Plato vergelijke men mijn uitgave der Apologia Socratis.

Cap. I. **Kriton vertelt, dat het heilige schip dezen dag van Delos zal terugkeeren.**

1. *τηνικάδε* h. l. = zoo vroeg.

2. *πάνυ μὲν οὖν* — ongetwijfeld.

3. *μάλιστα* = ongeveer.

4. *ὄρθρος.* Phrynichus: *ὄρθρος τὸ πρὸ ἀρχομένης ἡμέρας, ἐν ᾧ ἔτι λύχνῳ δύναταί τις χρῆσθαι.*

6. *ὑπακοῦσαι. ὑπακούειν* — luisteren naar iemand, die klopt en daarna de deur openen.

10. *ἐπιεικῶς* — tamelijk.

ΚΡ. Οὐ μὰ τὸν Δία, ὦ Σώκρατες, οὐδ' ἂν αὐτὸς ἤθελον ἐν τοσαύτῃ τε ἀγρυπνίᾳ καὶ λύπῃ εἶναι, ἀλλὰ καὶ σοῦ πάλαι θαυμάζω αἰσθανόμενος, ὡς ἡδέως καθεύδεις, καὶ ἐπίτηδές σε οὐκ ἤγειρον, ἵνα ὡς ἥδιστα διάγῃς. καὶ πολλάκις μὲν δή σε καὶ πρότερον ἐν παντὶ τῷ βίῳ ηὐδαιμόνισα τοῦ τρόπου, πολὺ δὲ μάλιστα ἐν τῇ νῦν παρεστώσῃ ξυμφορᾷ, ὡς ῥᾳδίως αὐτὴν καὶ πρᾴως φέρεις.

ΣΩ. Καὶ γὰρ ἄν, ὦ Κρίτων, πλημμελὲς εἴη ἀγανακτεῖν τηλικοῦτον ὄντα, εἰ δεῖ ἤδη τελευτᾶν. C

ΚΡ. Καὶ ἄλλοι, ὦ Σώκρατες, τηλικοῦτοι ἐν τοιαύταις ξυμφοραῖς ἁλίσκονται, ἀλλ' οὐδὲν αὐτοὺς ἐπιλύεται ἡ ἡλικία τὸ μὴ οὐχὶ ἀγανακτεῖν τῇ παρούσῃ τύχῃ.

ΣΩ. Ἔστι ταῦτα. ἀλλὰ τί δὴ οὕτω πρῲ ἀφῖξαι;

ΚΡ. Ἀγγελίαν, ὦ Σώκρατες, φέρων χαλεπήν, οὐ σοί, ὡς ἐμοὶ φαίνεται, ἀλλ' ἐμοὶ καὶ τοῖς σοῖς ἐπιτηδείοις πᾶσι καὶ χαλεπὴν καὶ βαρεῖαν, ἣν ἐγώ, ὡς ἐμοὶ δοκῶ, ἐν τοῖς βαρύτατ' ἂν ἐνέγκαιμι.

ΣΩ. Τίνα ταύτην; ἢ τὸ πλοῖον ἀφῖκται ἐκ Δήλου, οὗ δεῖ ἀφικομένου τεθνάναι με; D

ΚΡ. Οὔτοι δὴ ἀφῖκται, ἀλλὰ δοκεῖ μέν μοι ἥξειν τήμερον

---

16. *διάγῃς* = h. l. = zich bevinden.

19. *πλημμελές*, eig.: tegen het *μέλος* (opp. *ἐμμελής*), h. l. verkeerd. *τηλικοῦτον*, Sokrates is 70 jaar oud.

21. *ἁλίσκονται*, getroffen worden door.

22. *ἐπιλύεται*, bevrijden van.

24. *ἀλλὰ τί*, deze woorden nemen de vraag in 1 weer op; vert. maar, om op de zaak terug te komen.

27. *ἐν τοῖς βαρύτατ'* sc. *φέρουσιν*, onder hen, die het 't moeilijkst verdragen, mede zeer moeilijk.

29. *τίνα ταύτην*, sc. *φέρεις* = *τίς ἐστιν αὕτη ἡ ἀγγελία, ἣν φέρεις*; *ἤ*, kortweg voor: *ἄλλο τι ἤ* = niet waar?

ἐκ Δήλου, de Atheners zonden jaarlijks, van staatswege, gezanten op een schip naar Delos, om offers aan Apollo te brengen, uit dank voor Theseus' behouden terugkeer van dat eiland. Deze gezanten werden *ϑεωροί* genaamd.

31. *ἀλλὰ δοκεῖ*, na de verba *δοκεῖ*, *οἶμαι* enz. volgt dikwijls *μέν*, terwijl het correspondeerende *δέ* ontbreekt; de correspondeerende zin kan echter gemakkelijk aangevuld worden, in dit geval bv.: *σαφῶς δ' οὐκ οἶδα*.

ἐξ ὧν ἀπαγγέλλουσιν ἥκοντές τινες ἀπὸ Σουνίου καὶ καταλιπόντες ἐκεῖ αὐτό. δῆλον οὖν ἐκ τούτων, ὅτι ἥξει τήμερον, καὶ ἀνάγκη δὴ εἰς αὔριον ἔσται, ὦ Σώκρατες, τὸν βίον σε τελευτᾶν.

ΣΩ. *Ἀλλ', ὦ Κρίτων, τύχῃ ἀγαθῇ. εἰ ταύτῃ τοῖς θεοῖς* 2
44 *φίλον, ταύτῃ ἔστω. οὐ μέντοι οἶμαι ἥξειν αὐτὸ τήμερον.*

ΚΡ. *Πόθεν τοῦτο τεκμαίρει;*

ΣΩ. *Ἐγώ σοι ἐρῶ. τῇ γάρ που ὑστεραίᾳ δεῖ με ἀποθνῄσκειν ἢ ᾗ ἂν ἔλθῃ τὸ πλοῖον.*

ΚΡ. *Φασί γέ τοι δὴ οἱ τούτων κύριοι.*

ΣΩ. *Οὐ τοίνυν τῆς ἐπιούσης ἡμέρας οἶμαι αὐτὸ ἥξειν, ἀλλὰ τῆς ἑτέρας. τεκμαίρομαι δὲ ἔκ τινος ἐνυπνίου, ὃ ἑώρακα ὀλίγον πρότερον ταύτης] τῆς νυκτός· καὶ κινδυνεύεις ἐν καιρῷ τινι οὐκ ἐγεῖραί με.*

ΚΡ. *Ἦν δὲ δὴ τί τὸ ἐνύπνιον;*

ΣΩ. *Ἐδόκει τίς μοι γυνὴ προσελθοῦσα καλὴ καὶ εὐειδής, λευκὰ ἱμάτια ἔχουσα, καλέσαι με καὶ εἰπεῖν· Ὦ Σώκρατες, ἤματι κεν τριτάτῳ Φθίην ἐρίβωλον ἵκοιο.*

ΚΡ. *Ἄτοπον τὸ ἐνύπνιον, ὦ Σώκρατες.*

---

33. *ἐκ τούτων*, sc. *ἃ ἀπαγγέλλουσιν.*

Cap. II. **De godheid heeft aan Sokrates door een droom bericht, dat hij eerst op den tweeden, daarop volgenden, dag zal sterven.**

1. *τύχῃ ἀγαθῇ*, sc. *τοῦτο γενέσθω* = quod bene vertat.

4. *τῇ ὑστεραίᾳ ἢ ᾗ*, na *ὑστεραῖος* wordt *ἤ* gebr., omdat dit woord de kracht van een comparativus heeft = den dag nadat.

6. *οἱ τούτων κύριοι*, zij, die daarover te beslissen hebben; in dit geval *οἱ ἕνδεκα.*

7. *τῆς ἐπιούσης ἡμέρας*, den dag van heden (welke nog komen moet, daar het nog schemering is).

9. *κινδυνεύεις*, schijnen. *ἐν καιρῷ τινι* = peropportune.

12. *ἐδόκει*, het werkwoord *δοκεῖν* wordt gebruikt voor het verschijnen in den droom, cf. Eur. Orest. 402: *ἔδοξ' ἰδεῖν τρεῖς νυκτὶ προσφερεῖς κόρας* en Arist. Vesp. 31: *ἔδοξε μοι περὶ πρῶτον ὕπνον ἐν τῇ πυκνὶ ἐκκλησιάζειν.*

14. *ἤματι κεν τριτάτῳ .... ἵκοιο*, uit Ilias IX, 362, waar Achilles zegt:

εἰ δὲ κ' εὐπλοίην δώῃ κλυτὸς ἐνοσίγαιος
ἤματι κε τριτάτῳ Φθίην ἐρίβωλον ἱκοίμην

Cic. de Div. 1, 25, 52 vertaalt: tertia te Phtiae tempestas laeta locabit.

15. *ἄτοπον* = *ὡς ἄτοπον.*

ΣΩ. Ἐναργὲς μὲν οὖν, ὥς γέ μοι δοκεῖ, ὦ Κρίτων.

3 ΚΡ. Λίαν γε, ὡς ἔοικεν. ἀλλ', ὦ δαιμόνιε Σώκρατες, ἔτι καὶ νῦν ἐμοὶ πιθοῦ καὶ σώθητι· ὡς ἐμοί, ἐὰν σὺ ἀποθάνῃς, οὐ μία ξυμφορά ἐστιν, ἀλλὰ χωρὶς μὲν τοῦ ἐστερῆσθαι τοιούτου ἐπιτηδείου, οἷον ἐγὼ οὐδένα μή ποτε εὑρήσω, ἔτι δὲ καὶ πολλοῖς δόξω, οἳ ἐμὲ καὶ σὲ μὴ σαφῶς ἴσασιν, ὡς οἷός τ' ὢν σε σῴζειν, εἰ ἤθελον ἀναλίσκειν χρήματα, ἀμελῆσαι. καίτοι τίς ἂν αἰσχίων εἴη ταύτης δόξα ἢ δοκεῖν χρήματα περὶ πλείονος ποιεῖσθαι ἢ φίλους; οὐ γὰρ πείσονται οἱ πολλοί, ὡς σὺ αὐτὸς οὐκ ἠθέλησας ἀπιέναι ἐνθένδε ἡμῶν προθυμουμένων.

ΣΩ. Ἀλλὰ τί ἡμῖν, ὦ μακάριε Κρίτων, οὕτω τῆς τῶν πολλῶν δόξης μέλει; οἱ γὰρ ἐπιεικέστατοι, ὧν μᾶλλον ἄξιον φροντίζειν, ἡγήσονται αὐτὰ οὕτω πεπρᾶχθαι, ὥσπερ ἂν πραχθῇ.

ΚΡ. Ἀλλ' ὁρᾷς δή, ὅτι ἀνάγκη, ὦ Σώκρατες, καὶ τῆς τῶν D
πολλῶν δόξης μέλειν. αὐτὰ δὲ δηλοῖ τὰ παρόντα νυνί, ὅτι οἷοί τ' εἰσὶν οἱ πολλοὶ οὐ τὰ σμικρότατα τῶν κακῶν ἐξεργάζεσθαι, ἀλλὰ τὰ μέγιστα σχεδόν, ἐάν τις ἐν αὐτοῖς διαβεβλημένος ᾖ.

ΣΩ. Εἰ γὰρ ὤφελον, ὦ Κρίτων, οἷοί τ' εἶναι οἱ πολλοὶ τὰ μέγιστα κακὰ ἐργάζεσθαι, ἵνα οἷοί τ' ἦσαν καὶ ἀγαθὰ τὰ μέγιστα, καὶ καλῶς ἂν εἶχεν· νῦν δὲ οὐδέτερα οἷοί τε· οὔτε γὰρ

---

16. *μὲν οὖν* = immo vero.

Cap. III. **Iedereen verwacht van Krito, dat hij zal mede helpen Sokrates te laten ontvluchtten.**

1. *ἀλλ' ὦ δαιμόνιε Σώκρατες*, hier begint het antwoord op 1, 1 en 24. *ἔτι καὶ νῦν*, uit deze woorden blijkt, dat de vroegere pogingen vergeefsch waren.

2. *οὐ μία ξυμφορά*, hierbij aan te vullen: *ἀλλὰ πλείους*.

3. *ἐστερῆσθαι*, h. l. de beteekenis van fut. ex.

4. *οὐδένα μή ποτε*, eigenlijk *οὐ δεινόν ἐστι μή ποτέ τινα*, vert.: ongetwijfeld nooit.

6. *τίς ἂν αἰσχίων δόξα ἢ δοκεῖν*, cf. Herod. 8, 4: *παρὰ δόξαν .... ἢ ὡς αὐτοὶ κατεδόκουν*. De infinitivus *δοκεῖν* verklaart den genitivus *ταύτης*.

10. *ὦ μακάριε*, mijn beste.

14. *ὅτι*; verklarend = dat n.l.

17. *εἰ γαρ .... οἷοι τ' εἶναι*. Plato gebruikt hier een verbinding der beide wenschformules: *εἰ γὰρ οἷοι τ' ἦσαν* en *ὤφελον οἷοι τ' εἶναι*

18. *ἵνα ἦσαν*, assimilatie van den modus.

φρόνιμον οὔτε ἄφρονα δυνατοὶ ποιῆσαι, ποιοῦσι δὲ τοῦτο ὅ τι ἂν τύχωσιν.

E KP. Ταῦτα μὲν δὴ οὕτως ἐχέτω, τάδε δέ, ὦ Σώκρατες, εἰπέ 4
μοι· ἆρά γε μὴ ἐμοῦ προμηθεῖ καὶ τῶν ἄλλων ἐπιτηδείων, μή,
ἐὰν σὺ ἐνθένδε ἐξέλθῃς, οἱ συκοφάνται ἡμῖν πράγματα παρέχωσιν
ὡς σὲ ἐνθένδε ἐκκλέψασι καὶ ἀναγκασθῶμεν ἢ καὶ πᾶσαν τὴν
οὐσίαν ἀποβαλεῖν ἢ συχνὰ χρήματα, ἢ καὶ ἄλλο τι πρὸς τούτοις
45 παθεῖν; εἰ γάρ τι τοιοῦτον φοβεῖ, ἔασον αὐτὸ χαίρειν· ἡμεῖς γάρ
που δίκαιοί ἐσμεν σώσαντές σε κινδυνεύειν τοῦτον τὸν κίνδυνον καί,
ἐὰν δέῃ, ἔτι τούτου μείζω· ἀλλ' ἐμοὶ πείθου καὶ μὴ ἄλλως ποίει.

ΣΩ. Καὶ ταῦτα προμηθοῦμαι, ὦ Κρίτων, καὶ ἄλλα πολλά.

KP. Μήτε τοίνυν ταῦτα φοβοῦ· καὶ γὰρ οὐδὲ πολὺ τἀργύριόν
ἐστιν, ὃ θέλουσι λαβόντες τινὲς σῶσαι σε καὶ ἐξαγαγεῖν ἐνθένδε.
ἔπειτα οὐχ ὁρᾷς τούτους τοὺς συκοφάντας ὡς εὐτελεῖς, καὶ οὐδὲν
B ἂν δέοι ἐπ' αὐτοὺς πολλοῦ ἀργυρίου; σοὶ δὲ ὑπάρχει μὲν τὰ ἐμὰ
χρήματα, ὡς ἐγὼ οἶμαι, ἱκανά· ἔπειτα καὶ εἴ τι ἐμοῦ κηδόμενος οὐκ
οἴει δεῖν ἀναλίσκειν τἀμά, ξένοι αὖ οἱ ἐνθάδε ἑτοῖμοι ἀναλίσκειν·
εἷς δὲ καὶ κεκόμικεν ἐπ' αὐτὸ τοῦτο ἀργύριον ἱκανόν, Σιμίας ὁ

---

20. *φρόνιμον*, h. l. masculinum, evenals het volgende *ἄφρονα*.

Cap. IV. **De vlucht is gemakkelijk uit te voeren.**

2. *ἆρα γε μή*, toch niet misschien?

3. *συκοφάνται*, eigenlijk zij, die moesten toezien, dat geen uitvoer, of diefstal, van vijgen plaats had en dit vergrijp aan mochten geven; verder aanklagers van beroep, valsche aanklagers, h. l. = aanbrengers.

4. *ὡς* = dat n.l.

5. *ἢ συχνά*, of ten minste ...... *ἢ καὶ ἄλλο τι — παθεῖν* — lijfstraf, verbanning of doodstraf.

6. *ἔασον χαίρειν*, laat varen.

7. *δίκαιοι*, verplicht; persoonlijke constructie.

8. *ἀλλ'*, vert.: daarom.

10. *μήτε τοίνυν*, dit wordt weer opgenomen in 18: *μήτε ταῦτα φοβούμενος*.

11. *ὃ λαβόντες* = waarvoor.

12. *τούτους*, vgl. het Lat. pron. iste, h. l. verachtelijk gebruikt. *εὐτελεῖς*, gemakkelijk om te koopen. *οὐδὲν ἂν δέοι*, ook nog afh. van *ὁρᾷς ... ὡς*.

13. *ἐπ' αὐτούς*, om hen het zwijgen op te leggen.

Θηβαῖος. ἑτοῖμος δὲ καὶ Κέβης καὶ ἄλλοι πολλοὶ πάνυ. ὥστε, ὅπερ λέγω, μήτε ταῦτα φοβούμενος ἀποκάμῃς σαυτὸν σῶσαι μήτε, ὃ ἔλεγες ἐν τῷ δικαστηρίῳ, δυσχερές σοι γενέσθω, ὅτι οὐκ ἂν ἔχοις ἐξελθών, ὅ τι χρῷο σαυτῷ· πολλαχοῦ μὲν γὰρ καὶ ἄλλοσε, ὅποι ἂν ἀφίκῃ, ἀγαπήσουσί σε· ἐὰν δὲ βούλῃ εἰς Θετταλίαν ἰέναι, εἰσὶν C ἐμοὶ ἐκεῖ ξένοι, οἵ σε περὶ πολλοῦ ποιήσονται καὶ ἀσφάλειάν σοι παρέξονται, ὥστε σε μηδένα λυπεῖν τῶν κατὰ Θετταλίαν.

5 Ἔτι δέ, ὦ Σώκρατες, οὐδὲ δίκαιόν μοι δοκεῖς ἐπιχειρεῖν πρᾶγμα, σαυτὸν προδοῦναι, ἐξὸν σωθῆναι, καὶ τοιαῦτα σπεύδεις περὶ σαυτὸν γενέσθαι, ἅπερ ἂν καὶ οἱ ἐχθροί σου σπεύσαιέν τε καὶ ἔσπευσαν σὲ διαφθεῖραι βουλόμενοι. πρὸς δὲ τούτοις καὶ τοὺς υἱεῖς τοὺς σαυτοῦ ἔμοιγε δοκεῖς προδιδόναι, οὕς σοι ἐξὸν καὶ ἐκθρέψαι καὶ ἐκπαιδεῦσαι οἰχήσει καταλιπών, καὶ τὸ σὸν μέρος, ὅ D τι ἂν τύχωσι, τοῦτο πράξουσιν· τεύξονται δέ, ὡς τὸ εἰκός, τοιούτων οἷάπερ εἴωθε γίγνεσθαι ἐν ταῖς ὀρφανίαις περὶ τοὺς ὀρφανούς. ἢ γὰρ οὐ χρὴ ποιεῖσθαι παῖδας ἢ ξυνδιαταλαιπωρεῖν καὶ τρέφοντα καὶ παιδεύοντα· σὺ δέ μοι δοκεῖς τὰ ῥᾳθυμότατα αἱρεῖσθαι· χρὴ δέ, ἅπερ ἂν ἀνὴρ ἀγαθὸς καὶ ἀνδρεῖος ἕλοιτο, ταῦτα αἱρεῖσθαι, φάσκοντά γε δὴ ἀρετῆς διὰ παντὸς τοῦ βίου ἐπιμελεῖ-

---

17. *Κέβης*, evenals Simias kwam hij uit Thebe. *πολλοὶ πάνυ*, i. p. v. *πάνυ πολλοί*.

18. *ὅπερ λέγω* = zooals gezegd. *ἀποκάμῃς*, het opgeven, hier niet juist gebruikt, daar Sokrates in het geheel geen toebereidselen gemaakt heeft voor zijn vlucht.

19. *ὃ ἔλεγες ἐν τῷ δικαστηρίῳ*, cf. Apol. 27, 23. *δυσχερές*, verlegenheid.

20. *ἄλλοσε*, men verwacht *ἀλλαχοῦ*, doch *ἄλλοσε* is gebruikt met het oog op het volgende *ὅποι*.

Cap. V. **Indien Sokrates blijft, pleegt hij verraad tegenover zichzelf en zijn kinderen en onrecht tegenover zijn vrienden.**

1. *ἐπιχειρεῖν πρᾶγμα* — ongewone constructie van dit werkwoord met den acc.

2. *προδοῦναι* — opgeven.

3. *περὶ σαυτὸν*, met u.

4. *τε καὶ ἔσπευσαν*, vert.: en werkelijk ook .... *βουλόμενοι*, h. l. op te lossen door een causalen bijzin.

6. *τὸ σὸν μέρος*, voorzoover van u afhangt.

7. *τοῦτο πράξουσιν* — het zal hun zoo gaan *ὅ τι ἂν τύχωσι*, sc. *πράττοντες*.

E *σθαι· ὡς ἔγωγε καὶ ὑπὲρ σοῦ καὶ ὑπὲρ ἡμῶν τῶν σῶν ἐπιτηδείων αἰσχύνομαι, μὴ δόξῃ ἅπαν τὸ πρᾶγμα τὸ περὶ σὲ ἀνανδρίᾳ τινὶ τῇ ἡμετέρᾳ πεπρᾶχθαι, καὶ ἡ εἴσοδος τῆς δίκης εἰς τὸ δικαστήριον, ὡς εἰσῆλθεν ἐξὸν μὴ εἰσελθεῖν, καὶ αὐτὸς ὁ ἀγὼν τῆς δίκης, ὡς ἐγένετο, καὶ τὸ τελευταῖον δὴ τουτί, ὥσπερ καταγέλως*
46 *τῆς πράξεως, κακίᾳ τινὶ καὶ ἀνανδρίᾳ τῇ ἡμετέρᾳ διαπεφευγέναι ἡμᾶς δοκεῖν, οἵτινές σε οὐχὶ ἐσώσαμεν οὐδὲ σὺ σαυτόν, οἷόν τε ὂν καὶ δυνατόν, εἴ τι καὶ μικρὸν ἡμῶν ὄφελος ἦν. ταῦτ' οὖν, ὦ Σώκρατες, ὅρα, μὴ ἅμα τῷ κακῷ καὶ αἰσχρὰ ᾖ σοί τε καὶ ἡμῖν. ἀλλὰ βουλεύου, μᾶλλον δὲ οὐδὲ βουλεύεσθαι ἔτι ὥρα, ἀλλὰ βεβουλεῦσθαι. μία δὲ βουλή· τῆς γὰρ ἐπιούσης νυκτὸς πάντα ταῦτα δεῖ πεπρᾶχθαι. εἰ δ' ἔτι περιμενοῦμεν, ἀδύνατον καὶ οὐκέτι οἷόν τε. ἀλλὰ παντὶ τρόπῳ, ὦ Σώκρατες, πείθου μοι καὶ μηδαμῶς ἄλλως ποίει.*

B ΣΩ. *Ὦ φίλε Κρίτων, ἡ προθυμία σου πολλοῦ ἀξία, εἰ μετά* **6**
τινος ὀρθότητος εἴη· εἰ δὲ μή, ὅσῳ μείζων, τοσούτῳ χαλεπωτέρα.

---

13. *ὡς*, h. l. = daarom.

14. *αἰσχύνομαι μή*, daar in *αἰσχύνομαι* tevens een bezorgdheid ligt opgesloten, wordt *μή* gebruikt.

ἅπαν τὸ πρᾶγμα, dit wordt door drie dingen nader uitgewerkt, alle drie met *καὶ* beginnend, n.l. *καὶ ἡ εἴσοδος . . . καὶ αὐτὸς ὁ ἀγών . . . καὶ τὸ τελευταῖον.*

15. *ἡ εἴσοδος τῆς δίκης . . . ὡς εἰσῆλθεν* = dat de aanklacht voor het gerecht kwam; hoe het proces vermeden had kunnen worden, zegt Krito niet; hij is echter overtuigd, dat dit mogelijk geweest was.

16. *ὁ ἀγὼν τῆς δίκης ὡς ἐγένετο*, hoe de behandeling van het proces gevoerd werd.

17. *ὥσπερ καταγέλως τῆς πράξεως* — als om de zaak geheel en al belachelijk te maken.

19. *δοκεῖν*, dit herhaalt pleonastisch het voorafgaande *δόξῃ*.

21. *ἅμα τῷ κακῷ* = *ἅμα τῷ κακὰ εἶναι. ἀλλά*, cf. 4, 8, eveneens hieronder 24.

22. *μᾶλλον δέ*, of liever.

II. Sokrates weigert te vluchten (C. 6—16).

Cap. VI. **Bij de vraag naar recht en onrecht, welke ook bij deze vlucht geldt, hebben alleen deskundigen te beslissen** (C. 6—8).

1. *ἡ προθυμία σου* — uw goede wil. *ἀξία*, sc. *ἐστίν.*

2. *ὀρθότητος*, het juist inzicht.

σκοπεῖσθαι οὖν χρὴ ἡμᾶς, εἴτε ταῦτα πρακτέον εἴτε μή· ὡς ἐγὼ οὐ μόνον νῦν, ἀλλὰ καὶ ἀεὶ τοιοῦτος, οἷος τῶν ἐμῶν μηδενὶ ἄλλῳ πείθεσθαι ἢ τῷ λόγῳ, ὃς ἄν μοι λογιζομένῳ βέλτιστος φαίνηται. τοὺς δὲ λόγους, οὓς ἐν τῷ ἔμπροσθεν ἔλεγον, οὐ δύναμαι νῦν ἐκβαλεῖν, ἐπειδή μοι ἥδε ἡ τύχη γέγονεν, ἀλλὰ σχεδόν τι ὅμοιοι φαίνονταί μοι, καὶ τοὺς αὐτοὺς πρεσβεύω καὶ τιμῶ, οὕσπερ καὶ πρότερον· C
ὧν ἐὰν μὴ βελτίω ἔχωμεν λέγειν ἐν τῷ παρόντι, εὖ ἴσθι, ὅτι οὐ μή σοι ξυγχωρήσω, οὐδ' ἂν πλείω τῶν νῦν παρόντων ἡ τῶν πολλῶν δύναμις ὥσπερ παῖδας ἡμᾶς μορμολύττηται, δεσμοὺς καὶ θανάτους ἐπιπέμπουσα καὶ χρημάτων ἀφαιρέσεις. πῶς οὖν ἂν μετριώτατα σκοποίμεθα αὐτά; εἰ πρῶτον μὲν τοῦτον τὸν λόγον ἀναλάβοιμεν, ὃν σὺ λέγεις περὶ τῶν δοξῶν, πότερον καλῶς ἐλέγετο ἑκάστοτε ἢ οὔ, ὅτι ταῖς μὲν δεῖ τῶν δοξῶν προσέχειν τὸν νοῦν, D
ταῖς δὲ οὔ· ἢ πρὶν μὲν ἐμὲ δεῖν ἀποθνήσκειν καλῶς ἐλέγετο, νῦν δὲ κατάδηλος ἄρα ἐγένετο, ὅτι ἄλλως ἕνεκα λόγου ἐλέγετο, ἦν δὲ

---

3. *ὡς*, h. l. vert.: want.

4. *τοιοῦτος* (sc. *ἦ*), *οἷος*, op *τοιοῦτος* volgt dikw. i. p. v.: *ὥστε* het correspondeerende correlativum *οἷος*, eveneens met den infinitivus geconstrueerd. *τῶν ἐμῶν*, de invloeden, welke op mij inwerken.

5. *φαίνηται*, de woorden *ἐγὼ οὐ* tot *φαίνηται* komen ook voor in een inscriptie C. I. G. III, 6115, doch in plaats van *οὐ μόνον νῦν* staat daar *οὐ νῦν πρῶτον*.

6. *ἐκβαλεῖν*, h. l. = verwerpen.

7. *ὁμοῖοι* = *οἱ αὐτοί*.

10. *οὐ μή*, cf. 3, 3. *ξυγχωρήσω*, conj. aor. *οὐδ' ἂν πλείω* etc., constr.: *οὐδ' ἂν ἡ τῶν πολλῶν δύναμις, δεσμοὺς .... ἀφαιρέσεις, ἡμᾶς ὥσπερ παῖδας μορμολύττηται πλείω τῶν νῦν παρόντων* (n.l. de straf, welke zooeven over Socrates uitgesproken is.

11. *μορμολύττηται*, eig.: de kinderen bang maken met den naam *Μόρμω* (= de boeman); behalve dezen maakte men hen bevreesd door *Λάμια* en *Ἔμπουσα*; verder in het algemeen = bevreesd maken.

13. *πρῶτον μὲν*, weer opgenomen 8, 18 en verder voortgezet door *ἀλλὰ μὲν δή* (8, 21).

14. *πότερον — ἢ — ἤ*, drie mogelijkheden. *ἐλέγετο ἑκάστοτε*, sc. *ἐν τῷ ἔμπροσθεν*.

17. *ἄλλως* = temere. *ἕνεκα λόγου* — om maar iets te zeggen.

παιδιὰ καὶ φλυαρία ὡς ἀληθῶς; ἐπιθυμῶ δ' ἔγωγ' ἐπισκέψασθαι, ὦ Κρίτων, κοινῇ μετὰ σοῦ, εἴ τί μοι ἀλλοιότερος φανεῖται, ἐπειδὴ ὧδε ἔχω, ἢ ὁ αὐτός, καὶ ἐάσομεν χαίρειν ἢ πεισόμεθα αὐτῷ. ἐλέγετο δέ πως, ὡς ἐγῷμαι, ἑκάστοτε ὧδε ὑπὸ τῶν οἰομένων τι λέγειν, ὥσπερ νυνδὴ ἐγὼ ἔλεγον, ὅτι τῶν δοξῶν, ἃς οἱ ἄνθρωποι δοξά-
E ζουσι, δέοι τὰς μὲν περὶ πολλοῦ ποιεῖσθαι, τὰς δὲ μή. τοῦτο πρὸς θεῶν, ὦ Κρίτων, οὐ δοκεῖ καλῶς σοι λέγεσθαι; σὺ γάρ, ὅσα γε
47 τἀνθρώπεια, ἐκτὸς εἶ τοῦ μέλλειν ἀποθνήσκειν αὔριον, καὶ οὐκ ἂν σε παρακρούοι ἡ παροῦσα ξυμφορά· σκόπει δή· οὐχ ἱκανῶς δοκεῖ σοι λέγεσθαι, ὅτι οὐ πάσας χρὴ τὰς δόξας τῶν ἀνθρώπων τιμᾶν, ἀλλὰ τὰς μέν, τὰς δ' οὔ; τί φῄς; ταῦτα οὐχὶ καλῶς λέγεται;

ΚΡ. Καλῶς.

ΣΩ. Οὐκοῦν τὰς μὲν χρηστὰς τιμᾶν, τὰς δὲ πονηρὰς μή;

ΚΡ. Ναί.

ΣΩ. Χρησταὶ δὲ οὐχ αἱ τῶν φρονίμων, πονηραὶ δὲ αἱ τῶν ἀφρόνων;

ΚΡ. Πῶς δ' οὔ;

B ΣΩ. Φέρε δή, πῶς αὖ τὰ τοιαῦτα ἐλέγετο; γυμναζόμενος 7
ἀνὴρ καὶ τοῦτο πράττων πότερον παντὸς ἀνδρὸς ἐπαίνῳ καὶ ψόγῳ καὶ δόξῃ τὸν νοῦν προσέχει ἢ ἑνὸς μόνου ἐκείνου, ὃς ἂν τυγχάνῃ ἰατρὸς ἢ παιδοτρίβης ὤν;

ΚΡ. Ἑνὸς μόνου.

---

18. ὡς ἀληθῶς = inderdaad.

19. ἀλλοιότερος, sc. λόγος = verschillend.

20. ὧδε ἔχω, n.l. in doodsgevaar verkeeren. καὶ — vert.: en of.

21. τι, cf. Apol. 33, 15: οἴονταί τι εἶναι ὄντες οὐδενὸς ἄξιοι, = iets gewichtigs.

24. ὅσα γε τἀνθρώπεια, sc. ἐστίν = ten minste naar menschelijke berekening.

25. αὔριον, daarentegen ἤματι τριτάτῳ (2, 13).

26. παρακρούοι, een term waarschijnlijk aan het worstelen ontleend, h. l. = misleiden, van den rechten weg voeren.

Cap. VII. **Vervolg.**

1. πῶς, d. w. z. καλῶς ἢ οὐ; ἐλέγετο, in de vroegere gesprekken.

2. τοῦτο πράττων — zich daarop voornamelijk toeleggen.

ΣΩ. Οὐκοῦν φοβεῖσθαι χρὴ τοὺς ψόγους καὶ ἀσπάζεσθαι τοὺς ἐπαίνους τοὺς τοῦ ἑνὸς ἐκείνου, ἀλλὰ μὴ τοὺς τῶν πολλῶν.

ΚΡ. Δῆλα δή.

ΣΩ, Ταύτῃ ἄρα αὐτῷ πρακτέον καὶ γυμναστέον καὶ ἐδεστέον γε καὶ ποτέον, ᾗ ἂν τῷ ἑνὶ δοκῇ τῷ ἐπιστάτῃ καὶ ἐπαΐοντι, μᾶλλον ἢ ᾗ ξύμπασι τοῖς ἄλλοις.

ΚΡ. Ἔστι ταῦτα.

ΣΩ. Εἶεν. ἀπειθήσας δὲ τῷ ἑνὶ καὶ ἀτιμάσας αὐτοῦ τὴν C
δόξαν καὶ τοὺς ἐπαίνους, τιμήσας δε τοὺς τῶν πολλῶν λόγους καὶ μηδὲν ἐπαϊόντων, ἆρα οὐδὲν κακὸν πείσεται;

ΚΡ. Πῶς γὰρ οὔ;

ΣΩ. Τί δ' ἐστὶ τὸ κακὸν τοῦτο, καὶ ποῖ τείνει καὶ εἰς τί τῶν τοῦ ἀπειθοῦντος;

ΚΡ. Δῆλον ὅτι εἰς τὸ σῶμα· τοῦτο γὰρ διόλλυσι.

ΣΩ. Καλῶς λέγεις. οὐκοῦν καὶ τἆλλα, ὦ Κρίτων, οὕτως, ἵνα μὴ πάντα διΐωμεν, καὶ δὴ καὶ περὶ τῶν δικαίων καὶ ἀδίκων καὶ αἰσχρῶν καὶ καλῶν καὶ ἀγαθῶν καὶ κακῶν, περὶ ὧν νῦν ἡ βουλὴ ἡμῖν ἐστι, πότερον τῇ τῶν πολλῶν δόξῃ δεῖ ἡμᾶς ἕπεσθαι καὶ D
φοβεῖσθαι αὐτήν, ἢ τῇ τοῦ ἑνός, εἴ τίς ἐστιν ἐπαΐων, ὃν δεῖ καὶ αἰσχύνεσθαι καὶ φοβεῖσθαι μᾶλλον ἢ ξύμπαντας τοὺς ἄλλους; ᾧ εἰ μὴ ἀκολουθήσομεν, διαφθεροῦμεν ἐκεῖνο καὶ λωβησόμεθα, ὃ τῷ μὲν δικαίῳ βέλτιον ἐγίγνετο, τῷ δὲ ἀδίκῳ ἀπώλλυτο. ἢ ουδέν ἐστι τοῦτο;

ΚΡ. Οἶμαι ἔγωγε, ὦ Σώκρατες.

8 ΣΩ. Φέρε δή, ἐὰν τὸ ὑπὸ τοῦ ὑγιεινοῦ μὲν βέλτιον γιγνόμενον, ὑπο τοῦ νοσώδους δὲ διαφθειρόμενον διολέσωμεν πειθόμενοι μὴ τῇ

---

10. ἐπαΐοντι — deskundige.

16. ποῖ τείνει — waarop heeft het betrekking?

27. ἐγίγνετο .... ἀπώλλυτο, i. p. v. γίγνεσθαι .... ἀπόλλυσθαι ἐλέγετο.

Cap. VIII. **Vervolg.**

1. φέρε δή, met deze woorden begint de conclusio a minore ad maius, van het lichaam op de ziel, welke met de woorden οὐκ ἄρα .... ἡ ἀλήθεια (16) sluit. τοῦ ὑγιεινοῦ .... τοῦ νοσώδους, actief.

2. πειθόμενοι μή, hiertegenover staat de niet uitgedrukte tegenstelling: ἀλλὰ τῇ τῶν μὴ ἐπαϊόντων δόξῃ.

E τῶν ἐπαϊόντων δόξῃ, ἆρα βιωτὸν ἡμῖν ἐστι διεφθαρμένου αὐτοῦ; ἔστι δέ που τοῦτο τὸ σῶμα· ἢ οὐχί;

ΚΡ. Ναί.

ΣΩ. Ἆρ' οὖν βιωτὸν ἡμῖν ἐστι μετὰ μοχθηροῦ καὶ διεφθαρμένου σώματος;

ΚΡ. Οὐδαμῶς.

ΣΩ. Ἀλλὰ μετ' ἐκείνου ἄρ' ἡμῖν βιωτὸν διεφθαρμένου, ᾧ τὸ ἄδικον μὲν λωβᾶται, τὸ δὲ δίκαιον ὀνίνησιν; ἢ φαυλότερον ἡγούμεθα
48 εἶναι τοῦ σώματος ἐκεῖνο, ὅ τι ποτ' ἐστὶ τῶν ἡμετέρων, περὶ ὃ ἥ τε ἀδικία καὶ ἡ δικαιοσύνη ἐστίν;

ΚΡ. Οὐδαμῶς.

ΣΩ. Ἀλλὰ τιμιώτερον;

ΚΡ. Πολύ γε.

ΣΩ. Οὐκ ἄρα, ὦ βέλτιστε, πάνυ ἡμῖν οὕτω φροντιστέον, τί ἐροῦσιν οἱ πολλοὶ ἡμᾶς, ἀλλ' ὅ τι ὁ ἐπαΐων περὶ τῶν δικαίων καὶ ἀδίκων, ὁ εἷς, καὶ αὐτὴ ἡ ἀλήθεια. ὥστε πρῶτον μὲν ταύτῃ οὐκ ὀρθῶς εἰσηγεῖ, εἰσηγούμενος τῆς τῶν πολλῶν δόξης δεῖν ἡμᾶς φροντίζειν περὶ τῶν δικαίων καὶ καλῶν καὶ ἀγαθῶν καὶ τῶν ἐναντίων. ἀλλὰ μὲν δή, φαίη γ' ἄν τις, οἷοί τ' εἰσὶν ἡμᾶς οἱ πολλοὶ
B ἀποκτιννύναι.

ΚΡ. Δῆλα δὴ καὶ ταῦτα, ὦ Σώκρατες, ἀληθῆ λέγεις.

ΣΩ. Ἀλλ', ὦ θαυμάσιε, οὗτός τε ὁ λόγος, ὃν διεληλύθαμεν, ἔμοιγε δοκεῖ ἔτι ὅμοιος εἶναι καὶ πρότερον, καὶ τόνδε αὖ σκόπει, εἰ ἔτι μένει ἡμῖν ἢ οὔ, ὅτι οὐ τὸ ζῆν περὶ πλείστου ποιητέον, ἀλλὰ τὸ εὖ ζῆν.

---

9. ᾧ, h. l. bij λωβᾶται de dat. gebr. i. p. v. den meer gebruikelijken accusativus.

10. ὀνίνησιν, hierbij ὅ aan te vullen, uit het voorafgaande ᾧ te nemen.

11. περὶ ὅ, heeft betr. op ἐκεῖνο, bedoeld is de ziel.

16. τί .... ἀλλ' ὅ τι, let op de afwisseling van het directe en indirecte vraagwoord.

17. ἡμᾶς, naar analogie van de constructie van κακὰ λέγειν τινά.

18. καὶ αὐτὴ ἡ ἀλήθεια, en wel .... ταύτῃ, hierin.

21. ἀλλὰ μὲν δή, maar zeker toch.

23. δῆλα δή, natuurlijk.

25. καὶ πρότερον = als vroeger.

ΚΡ. Ἀλλὰ *μένει.*

ΣΩ. Τὸ *δὲ εὖ καὶ καλῶς καὶ δικαίως ὅτι ταὐτόν ἐστι, μένει ἢ οὐ μένει;*

ΚΡ. Μ*ένει.*

9 ΣΩ. Οὐ*κοῦν ἐκ τῶν ὁμολογουμένων τοῦτο σκεπτέον, πότερον*
δίκαιον ἐμὲ ἐνθένδε πειρᾶσθαι ἐξιέναι μὴ ἀφιέντων Ἀθηναίων, *ἢ* C
οὐ δίκαιον· καὶ ἐὰν μὲν φαίνηται δίκαιον, πειρώμεθα, εἰ δὲ μή,
ἐῶμεν. ἃς δὲ σὺ λέγεις τὰς σκέψεις περί τε ἀναλώσεως χρημάτων
καὶ δόξης καὶ παίδων τροφῆς, μὴ ὡς ἀληθῶς ταῦτα, ὦ Κρίτων,
σκέμματα ᾖ τῶν ῥᾳδίως ἀποκτιννύντων καὶ ἀναβιωσκομένων γ' ἄν,
εἰ οἷοί τ' ἦσαν, οὐδενὶ ξὺν νῷ, τούτων τῶν πολλῶν. ἡμῖν δ', ἐπειδὴ
ὁ λόγος οὕτως αἱρεῖ, μὴ οὐδὲν ἄλλο σκεπτέον ᾖ ἢ ὅπερ νυνδὴ
ἐλέγομεν, πότερον δίκαια πράξομεν καὶ χρήματα τελοῦντες τούτοις
τοῖς ἐμὲ ἐνθένδε ἐξάξουσι καὶ χάριτας, καὶ αὐτοὶ ἐξάγοντές τε D
καὶ ἐξαγόμενοι ἢ τῇ ἀληθείᾳ ἀδικήσομεν πάντα ταῦτα ποιοῦντες·
κἂν φαινώμεθα ἄδικα αὐτὰ ἐργαζόμενοι, μὴ οὐ δέῃ ὑπολογίζεσθαι,

---

Cap. IX. **Men mag geen onrecht doen, of vergelden, noch door onrechtvaardige handelingen afweren.**

1. *ἐκ τῶν ὁμολογουμένων*, praesens, daar het resultaat van vroegere onderzoekingen ook voor het tegenwoordige bindend is verklaard.

3. *εἰ δὲ μή*, i. p. v. *ἐὰν δὲ μή. φαίνηται δίκαιον*, sc. *ὄν*.

4. *τὰς σκέψεις περὶ* ...., de bedenkingen in cap. 4 en 5 vermeld.

5. *μή*, hiervoor te denken: *ὅρα* of *σκόπει*, vert.: als dat maar niet, dat zijn wellicht.

6. *σκέμματα* — overwegingen — *τῶν ῥᾳδίως ἀποκτιννύντων*, sc. sententiis suis. *ἀναβιωσκομένων*, h. l. causatieve beteekenis; *ἄν* hoort alleen bij *ἀναβιωσκομένων*.

7. *τούτων*, h. l. verachtelijk gebruikt. *ἐπειδή* = quandoquidem.

8. *ὁ λόγος αἱρεῖ*, het verstandig overlegt raadt aan. *μὴ .... σκεπτέον ᾖ*, cf. 5 en 10: *μὴ οὐ δέῃ*,

9. *τελοῦντες* — betalen, bij *χάριτας* per zeugma te vertalen door: bewijzen.

10. *καὶ αὐτοί*, in tegenstelling met de middellijke deelname uitgedrukt in: *καὶ χρήματα ...., χάριτας*; vert.: eenerzijds indien wij en anderzijds indien wij.

12. *ὑπολογίζεσθαι .... πρὸ τοῦ ἀδικεῖν*, *ὑπολογίζεσθαί τι πρό τινος*, iets meer dan iets anders in rekening brengen.

οὔτ᾽ εἰ ἀποθνήσκειν δεῖ παραμένοντας καὶ ἡσυχίαν ἄγοντας, οὔτ᾽ εἰ ἄλλο ὁτιοῦν πάσχειν, πρὸ τοῦ ἀδικεῖν.

ΚΡ. Καλῶς μέν μοι δοκεῖς λέγειν, ὦ Σώκρατες, ὅρα δέ, τί δρῶμεν.

ΣΩ. Σκοπῶμεν, ὦ ἀγαθέ, κοινῇ, καὶ εἴ πῃ ἔχεις ἀντιλέγειν
E ἐμοῦ λέγοντος, ἀντίλεγε, καί σοι πείσομαι· εἰ δὲ μή, παῦσαι ἤδη,
ὦ μακάριε, πολλάκις μοι λέγων τὸν αὐτὸν λόγον, ὡς χρὴ ἐνθένδε
ἀκόντων Ἀθηναίων ἐμὲ ἀπιέναι,· ὡς ἐγὼ περὶ πολλοῦ ποιοῦμαι
πείσας σε ταῦτα πράττειν, ἀλλὰ μὴ ἄκοντος. ὅρα δὲ δὴ τῆς σκέψεως
τὴν ἀρχήν, ἐάν σοι ἱκανῶς λέγηται, καὶ πειρῶ ἀποκρίνεσθαι τὸ
49 ἐρωτώμενον, ᾗ ἂν μάλιστα οἴῃ.

ΚΡ. Ἀλλὰ πειράσομαι.

ΣΩ. Οὐδενὶ τρόπῳ φαμὲν ἑκόντας ἀδικητέον εἶναι, ἤ τινὶ μὲν
ἀδικητέον τρόπῳ, τινὶ δὲ οὔ; ἢ οὐδαμῶς τό γε ἀδικεῖν οὔτε ἀγαθὸν
οὔτε καλόν, ὡς πολλάκις ἡμῖν καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ ὡμολογήθη; ἢ πᾶσαι ἡμῖν ἐκεῖναι αἱ πρόσθεν ὁμολογίαι ἐν ταῖσδε ταῖς
ὀλίγαις ἡμέραις ἐκκεχυμέναι εἰσί, καὶ πάλαι, ὦ Κρίτων, ἄρα
B τηλικοίδε ἄνδρες πρὸς ἀλλήλους σπουδῇ διαλεγόμενοι ἐλάθομεν
ἡμᾶς αὐτοὺς παίδων οὐδὲν διαφέροντες; ἢ παντὸς μᾶλλον οὕτως
ἔχει, ὥσπερ τότε ἐλέγετο ἡμῖν, εἴτε φασὶν οἱ πολλοὶ εἴτε μή, καὶ
εἴτε δεῖ ἡμᾶς ἔτι τῶνδε χαλεπώτερα πάσχειν εἴτε καὶ πρᾳότερα,

---

13. *παραμένοντας*, het verbum *παραμένειν* wordt gebruikt voor slaven, die in het huis van hun meester blijven en niet vluchten (*παράμονοι*, opp. *ἀποδιδράσκοντες*), h. l. = in de gevangenis blijven.

20. *ὡς*, bevestigt de aansporing: *σκοπῶμεν* . , . .

21. *ἄκοντος*, sc. *σοῦ*. *ταῦτα πράττειν*, *ταῦτα* = dit in het onderhavige geval, n.l. in de gevangenis blijven.

22. *τῆς σκέψεως τὴν ἀρχήν*, het uitgangspunt van het onderzoek. *ἐάν* = of.

Cap. X. **Vervolg.**

1. *οὐδενὶ τρόπῳ* — onder geen voorwaarde. *ἑκόντας*, acc. i. p. v. den dativus, alsof er *δεῖ ἀδικεῖν* volgde.

5. *ἐκκεχυμέναι εἰσίν* — abjectae sunt. *πάλαι* te nemen bij *ἐλάθομεν διαφέροντες*.

7. *παντὸς μᾶλλον* = utique.

8. *καὶ εἴτε*, *καί* verbindt de beide zinnen *οὕτως ἔχει* en *ὅμως . . . τυγχάνει ὄν*.

ὅμως τό γε ἀδικεῖν τῷ ἀδικοῦντι καὶ κακὸν καὶ αἰσχρὸν τυγχάνει ὂν παντὶ τρόπῳ; φαμὲν ἢ οὔ;

ΚΡ. Φαμέν.

ΣΩ. Οὐδαμῶς ἄρα δεῖ ἀδικεῖν.

ΚΡ. Οὐ δῆτα.

ΣΩ. Οὐδὲ ἀδικούμενον ἄρα ἀνταδικεῖν, ὡς οἱ πολλοὶ οἴονται, ἐπειδή γε οὐδαμῶς δεῖ ἀδικεῖν. C

ΚΡ. Οὐ φαίνεται.

ΣΩ. Τί δὲ δή; κακουργεῖν δεῖ, ὦ Κρίτων, ἢ οὔ;

ΚΡ. Οὐ δεῖ δήπου, ὦ Σώκρατες.

ΣΩ. Τί δέ; ἀντικακουργεῖν κακῶς πάσχοντα, ὡς οἱ πολλοί φασι, δίκαιον ἢ οὐ δίκαιον;

ΚΡ. Οὐδαμῶς.

ΣΩ. Τὸ γάρ που κακῶς ποιεῖν ἀνθρώπους τοῦ ἀδικεῖν οὐδὲν διαφέρει.

ΚΡ. Ἀληθῆ λέγεις.

ΣΩ. Οὔτε ἄρα ἀνταδικεῖν δεῖ οὔτε κακῶς ποιεῖν οὐδένα ἀνθρώπων, οὐδ' ἂν ὁτιοῦν πάσχῃ ὑπ' αὐτῶν. καὶ ὅρα, ὦ Κρίτων, ταῦτα καθομολογῶν, ὅπως μὴ παρὰ δόξαν ὁμολογῇς. οἶδα γάρ, ὅτι ὀλίγοις D
τισὶ ταῦτα καὶ δοκεῖ καὶ δόξει, οἷς οὖν οὕτω δέδοκται καὶ οἷς μή, τούτοις οὐκ ἔστι κοινὴ βουλή, ἀλλ' ἀνάγκη τούτους ἀλλήλων καταφρονεῖν, ὁρῶντας τὰ ἀλλήλων βουλεύματα. σκόπει δὴ οὖν καὶ σὺ εὖ μάλα, πότερον κοινωνεῖς καὶ ξυνδοκεῖ σοι καὶ ἀρχώμεθα ἐντεῦθεν βουλευόμενοι, ὡς οὐδέποτε ὀρθῶς ἔχοντος οὔτε τοῦ ἀδικεῖν οὔτε τοῦ ἀνταδικεῖν οὔτε κακῶς πάσχοντα ἀμύνεσθαι ἀντιδρῶντα κακῶς, ἢ ἀφίστασαι καὶ οὐ κοινωνεῖς τῆς ἀρχῆς; ἐμοὶ

---

15. *ἀδικούμενον* = *ἐὰν ἀδίκηταί τις.*

17. *οὐ φαίνεται* = blijkbaar niet.

20. *οἱ πολλοί*, vgl. o. a. een fragment van Euripides: *ἐχθρὸν κακῶς δρᾶν ἀνδρὸς ἡγοῦμαι μέρος.*

27. *πάσχῃ*, sc. *τις.*

31. *βουλεύματα*, principes.

33. *ἐντεῦθεν* = *οὕτω τὴν γνώμην ἔχοντες.*

35. *ἀρχῆς* — grondstelling.

E *μὲν γὰρ καὶ πάλαι οὕτω καὶ νῦν ἔτι δοκεῖ. σοὶ δ' εἴ πῃ ἄλλῃ δέδοκται, λέγε καὶ δίδασκε. εἰ δ' ἐμμένεις τοῖς πρόσθε, τὸ μετὰ τοῦτο ἄκουε.*

ΚΡ. *Ἀλλ' ἐμμένω τε καὶ ξυνδοκεῖ μοι· ἀλλὰ λέγε.*

ΣΩ. *Λέγω δὴ αὖ τὸ μετὰ τοῦτο, μᾶλλον δ' ἐρωτῶ· πότερον, ἃ ἄν τις ὁμολογήσῃ τῳ δίκαια ὄντα, ποιητέον ἢ ἐξαπατητέον;*

ΚΡ. *Ποιητέον.*

ΣΩ. *Ἐκ τούτων δὴ ἄθρει. ἀπιόντες ἐνθένδε ἡμεῖς μὴ πεί-* **11**
50 *σαντες τὴν πόλιν πότερον κακῶς τινας ποιοῦμεν, καὶ ταῦτα οὓς ἥκιστα δεῖ, ἢ οὔ; καὶ ἐμμένομεν οἷς ὡμολογήσαμεν δικαίοις οὖσιν ἢ οὔ;*

ΚΡ. *Οὐκ ἔχω, ὦ Σώκρατες, ἀποκρίνασθαι πρὸς ὃ ἐρωτᾷς· οὐ γὰρ ἐννοῶ.*

ΣΩ. *Ἀλλ' ὧδε σκόπει. εἰ μέλλουσιν ἡμῖν ἐνθένδε εἴτε ἀποδιδράσκειν εἴθ' ὅπως δεῖ ὀνομάσαι τοῦτο, ἐλθόντες οἱ νόμοι καὶ τὸ κοινὸν τῆς πόλεως ἐπιστάντες ἔροιντο· Εἰπέ μοι, ὦ Σώκρατες, τί ἐν νῷ ἔχεις ποιεῖν; ἄλλο τι ἢ τούτῳ τῷ ἔργῳ, ᾧ ἐπιχειρεῖς,*
B *διανοεῖ τούς τε νόμους ἡμᾶς ἀπολέσαι καὶ ξύμπασαν τὴν πόλιν τὸ σὸν μέρος; ἢ δοκεῖ σοι οἷόν τε ἔτι ἐκείνην τὴν πόλιν εἶναι καὶ μὴ ἀνατετράφθαι, ἐν ᾗ αἱ γενόμεναι δίκαι μηδὲν ἰσχύουσιν, ἀλλὰ ὑπὸ ἰδιωτῶν ἄκυροί τε γίγνονται καὶ διαφθείρονται; — τί ἐροῦμεν, ὦ Κρίτων, πρὸς ταῦτα καὶ ἄλλα τοιαῦτα; πολλὰ γὰρ ἄν τις ἔχοι,*

---

41. *τῳ*, vgl.: tegenover iemand.

Cap. XI **De wetten eischen gehoorzaamheid en daarop hebben zij recht; zij toch zijn de grootste weldoeners der menschheid.**

1. *ἐκ τούτων* — van dit standpunt uit.

3. *ἐμμένομεν οἷς .... οὖσιν* = *τούτοις ἃ ὡμολογήσαμεν δίκαια ὄντα.*

6. *ἐννοῶ*, begrijpen.

7. *μέλλουσιν* (dat. part.) *ἡμῖν*, afh. van: *ἐπιστάντες. ἀποδιδράσκειν*, van slaven gebruikt, omdat Sokrates de uitdrukking te hard vindt, zegt hij er ter verontschuldiging het volgende bij.

9. *τὸ κοινὸν τῆς πόλεως*, cf. Cic. in Verr. 2, 46, 63: commune Siciliae.

12. *τὸ σὸν μέρος*, cf. 5, 6. *οἷόν τε*, sc. *εἶναι.*

13. *ἀνατετράφθαι* = eversam iacere. *αἱ γενόμεναι δίκαι*, de gevelde oordeelen.

ἄλλως τε καὶ ῥήτωρ, εἰπεῖν ὑπὲρ τούτου τοῦ νόμου ἀπολλυμένου,
ὃς τὰς δίκας τὰς δικασθείσας προστάττει κυρίας εἶναι. ἢ ἐροῦμεν
πρὸς αὐτούς, ὅτι Ἠδίκει γὰρ ἡμᾶς ἡ πόλις καὶ οὐκ ὀρθῶς τὴν C
δίκην ἔκρινεν; ταῦτα ἢ τί ἐροῦμεν;

ΚΡ. Ταῦτα νὴ Δία, ὦ Σώκρατες.

12 ΣΩ. Τί οὖν, ἂν εἴπωσιν οἱ νόμοι· Ὦ Σώκρατες, ἦ καὶ ταῦτα
ὡμολόγητο ἡμῖν τε καὶ σοί, ἢ ἐμμενεῖν ταῖς δίκαις αἷς ἂν ἡ πόλις
δικάζῃ; Εἰ οὖν αὐτῶν θαυμάζοιμεν λεγόντων, ἴσως ἂν εἴποιεν ὅτι
Ὦ Σώκρατες, μὴ θαύμαζε τὰ λεγόμενα, ἀλλ' ἀποκρίνου, ἐπειδὴ
καὶ εἴωθας χρῆσθαι τῷ ἐρωτᾶν τε καὶ ἀποκρίνεσθαι. Φέρε γάρ,
τί ἐγκαλῶν ἡμῖν καὶ τῇ πόλει ἐπιχειρεῖς ἡμᾶς ἀπολλύναι; οὐ πρῶ- D
τον μὲν σε ἐγεννήσαμεν ἡμεῖς, καὶ δι' ἡμῶν ἔλαβε τὴν μητέρα
σου ὁ πατὴρ καὶ ἐφύτευσέν σε; φράσον οὖν, τούτοις ἡμῶν, τοῖς
περὶ τοὺς γάμους, μέμφει τι ὡς οὐ καλῶς ἔχουσιν; Οὐ μέμφομαι,
φαίην ἄν. Ἀλλὰ τοῖς περὶ τὴν τοῦ γενομένου τροφήν τε καὶ παι-
δείαν, ἐν ᾗ καὶ σὺ ἐπαιδεύθης; ἢ οὐ καλῶς προσέταττον ἡμῶν οἱ
ἐπὶ τούτοις τεταγμένοι, παραγγέλλοντες τῷ πατρὶ τῷ σῷ σε ἐν
μουσικῇ καὶ γυμναστικῇ παιδεύειν; Καλῶς, φαίην ἄν. Εἶεν. ἐπειδὴ E
δὲ ἐγένου τε καὶ ἐξετράφης καὶ ἐπαιδεύθης, ἔχοις ἂν εἰπεῖν πρῶτον
μέν, ὡς οὐχὶ ἡμέτερος ἦσθα καὶ ἔκγονος καὶ δοῦλος, αὐτός τε καὶ
οἱ σοὶ πρόγονοι; καὶ εἰ τοῦθ' οὕτως ἔχει, ἆρ' ἐξ ἴσου οἴει εἶναι
σοὶ τὸ δίκαιον καὶ ἡμῖν, καὶ ἅττ' ἂν ἡμεῖς σε ἐπιχειρῶμεν ποιεῖν,
καὶ σοὶ ταῦτα ἀντιποιεῖν οἴει δίκαιον εἶναι; ἢ πρὸς μὲν ἄρα σοι

---

16. *ἄλλως τε καὶ ῥήτωρ*, sc. *ὤν*, indien men in Athene een wet wilde afschaffen, werden advocaten (*συνήγοροι*) benoemd, om de wetten te verdedigen. *ἀπολλυμένου*, de conatu.

Cap. XII. **Vervolg.**

1. *τί οὖν*, sc. *ἐροῦμεν. ταῦτα*, dit heeft betrekking op: *ἠδίκει γάρ* .... 11, 18.

6. *πρῶτον*, hierna ontbreekt een *ἔπειτα*.

7. *καί*, h. l. verklarend, ongeveer = terwijl. *δι' ἡμῶν*, door onze bepalingen.

13. *ἐν μουσικῇ καὶ γυμναστικῇ* = geestelijk en lichamelijk. *ἐπειδή*, causaal.

14. *πρῶτον μέν*, voortgezet door: *καὶ εἰ τοῦθ' οὕτως ἔχει* (16).

18. *ἢ πρὸς μέν .... πρὸς δέ*, subordineer bij de vertaling: terwijl gij tegenover een vader .... zal iets dergelijks tegenover een vaderland ....

τὸν πατέρα οὐκ ἐξ ἴσου ἦν τὸ δίκαιον καὶ πρὸς τὸν δεσπότην, εἴ σοι ὢν ἐτύγχανεν, ὥστε, ἅπερ πάσχοις, ταῦτα καὶ ἀντιποιεῖν, οὔτε
51 κακῶς ἀκούοντα ἀντιλέγειν οὔτε τυπτόμενον ἀντιτύπτειν οὔτε ἄλλα τοιαῦτα πολλά, πρὸς δὲ τὴν πατρίδα ἄρα καὶ τοὺς νόμους ἐξέσται σοι, ὥστε, ἐάν σε ἐπιχειρῶμεν ἡμεῖς ἀπολλύναι δίκαιον ἡγούμενοι εἶναι, καὶ σὺ [δὲ] ἡμᾶς τοὺς νόμους καὶ τὴν πατρίδα, καθ' ὅσον δύνασαι, ἐπιχειρήσεις ἀνταπολλύναι, καὶ φήσεις ταῦτα ποιῶν δίκαια πράττειν, ὁ τῇ ἀληθείᾳ τῆσ ἀρετῆς ἐπιμελόμενος; ἢ οὕτως εἶ σοφός, ὥστε λέληθέν σε, ὅτι μητρός τε καὶ πατρὸς καὶ τῶν ἄλλων προγόνων ἁπάντων τιμιώτερόν ἐστιν ἡ πατρὶς καὶ σεμνότερον καὶ
B ἁγιώτερον καὶ ἐν μείζονι μοίρᾳ καὶ παρὰ θεοῖς καὶ παρ' ἀνθρώποις τοῖς νοῦν ἔχουσι, καὶ σέβεσθαι δεῖ καὶ μᾶλλον ὑπείκειν καὶ θωπεύειν πατρίδα χαλεπαίνουσαν ἢ πατέρα, καὶ ἢ πείθειν ἢ ποιεῖν, ἃ ἂν κελεύῃ, καὶ πάσχειν, ἐάν τι προστάττῃ παθεῖν, ἡσυχίαν ἄγοντα, ἐάν τε τύπτεσθαι ἐάν τε δεῖσθαι, ἐάν τε εἰς πόλεμον ἄγῃ τρωθησόμενον ἢ ἀποθανούμενον, ποιητέον ταῦτα, καὶ τὸ δίκαιον οὕτως ἔχει, καὶ οὐχὶ ὑπεικτέον οὐδὲ ἀναχωρητέον οὐδὲ λειπτέον τὴν τάξιν, ἀλλὰ καὶ ἐν πολέμῳ καὶ ἐν δικαστηρίῳ καὶ πανταχοῦ ποιητέον,
C ἃ ἂν κελεύῃ ἡ πόλις καὶ ἡ πατρίς, ἢ πείθειν αὐτήν, ᾗ τὸ δίκαιον πέφυκε, βιάζεσθαι δ' οὐχ ὅσιον οὔτε μητέρα οὔτε πατέρα, πολὺ δὲ τούτων ἔτι ἧττον τὴν πατρίδα; Τί φήσομεν πρὸς ταῦτα, ὦ Κρίτων; ἀληθῆ λέγειν τοὺς νόμους ἢ οὔ;

---

19. *ἦν*, imperfectum, omdat hier sprake is van ervaringen in het vroegere leven.

20. *πάσχοις* iteratieve beteekenis.

21. *κακῶς ἀκούοντα*, als men op u schold.

22. *ἐξέσται*, sc. *ταῦτα*.

27. *ὅτι*, bij de vertaling van dezen langen zin moet *ὅτι* bij de volgende plaatsen herhaald gedacht worden: *καὶ (ὅτι) σέβεσθαι* (30), *ἐάν τε εἰς πόλεμον ἄγῃ* = *καὶ ὅτι, ἐάν* (33), *καὶ (ὅτι) τὸ* (34) en *(ὅτι) δὲ βιάζεσθαι* (38).

29. *μοίρα* — achting.

30. *σέβεσθαι*, als subject *τινα* of *σε* aan te vullen.

31. *θωπεύειν* door vleien zoeken te winnen.

37. *πείθειν*, alsof nog *δεῖ* voorafging. *ᾗ τὸ δίκαιον πέφυκε*, vert.: op rechtmatige wijze.

ΚΡ. Ἔμοιγε δοκεῖ.

13 ΣΩ. Σκόπει τοίνυν, ὦ Σώκρατες, φαῖεν ἂν ἴσως οἱ νόμοι, εἰ ἡμεῖς ταῦτα ἀληθῆ λέγομεν, ὅτι οὐ δίκαια ἡμᾶς ἐπιχειρεῖς δρᾶν, ἃ νῦν ἐπιχειρεῖς. ἡμεῖς γάρ σε γεννήσαντες, ἐκθρέψαντες, παιδεύσαντες, μεταδόντες ἁπάντων, ὧν οἷοί τ' ἦμεν, καλῶν σοὶ καὶ τοῖς ἄλλοις D πᾶσι πολίταις, ὅμως προαγορεύομεν τῷ ἐξουσίαν πεποιηκέναι Ἀθηναίων τῷ βουλομένῳ, ἐπειδὰν δοκιμασθῇ καὶ ἴδῃ τὰ ἐν τῇ πόλει πράγματα καὶ ἡμᾶς τοὺς νόμους, ᾧ ἂν μὴ ἀρέσκωμεν ἡμεῖς, ἐξεῖναι λαβόντα τὰ αὑτοῦ ἀπιέναι, ὅποι ἂν βούληται. καὶ οὐδεὶς ἡμῶν τῶν νόμων ἐμποδών ἐστιν οὐδ' ἀπαγορεύει, ἐάν τε τις βούληται ὑμῶν εἰς ἀποικίαν ἰέναι, εἰ μὴ ἀρέσκοιμεν ἡμεῖς τε καὶ ἡ πόλις, ἐάν τε μετοικεῖν ἄλλοσέ ποι ἐλθών, ἰέναι ἐκεῖσε, ὅποι ἂν βούληται, ἔχοντα τὰ αὑτοῦ. ὃς δ' ἂν ὑμῶν παραμείνῃ, ὁρῶν, ὃν τρόπον E ἡμεῖς τάς τε δίκας δικάζομεν καὶ τἆλλα τὴν πόλιν διοικοῦμεν, ἤδη φαμὲν τοῦτον ὡμολογηκέναι ἔργῳ ἡμῖν, ἃ ἂν ἡμεῖς κελεύωμεν, ποιήσειν ταῦτα, καὶ τὸν μὴ πειθόμενον τριχῇ φαμεν ἀδικεῖν, ὅτι τε γεννηταῖς οὖσιν ἡμῖν οὐ πείθεται, καὶ ὅτι τροφεῦσι, καὶ ὅτι ὁμολογήσας ἡμῖν πείσεσθαι οὔτε πείθεται οὔτε πείθει ἡμᾶς, εἰ μὴ καλῶς τι ποιοῦμεν, προτιθέντων ἡμῶν καὶ οὐκ ἀγρίως ἐπιταττόντων 52

Cap. XIII. **Door te blijven heeft Sokrates erkend, dat hij de wetten gehoorzaamt; indien hij thans vlucht, zal hij niet consequent blijven.**

2. *ἀληθῆ*, praedicatief bij *ταῦτα*, evenals *οὐ δίκαια* = *ἄδικα* bij het uit *ἃ ἐπιχειρεῖς* aan te vullen demonstrativum.

3. *γεννήσαντες*, dit, evenals de volgende partic. in concessieve beteekenis.

5. *προαγορεύομεν .... λαβόντα ἀπιέναι*, constr.: *προαγορεύομεν ἐξεῖναι τῷ βουλομένῳ (ᾧ ἂν μὴ ἀρέσκωμεν) λαβόντα ἀπιέναι.*

6. *δοκιμασθῇ*, de Atheensche burgers, die hun volledige burgerlijke rechten wilden uitoefenen, moesten zich laten inschrijven in het z. g. *ληξιαρχικόν*. Tevoren moesten zij zich aan een onderzoek (*δοκιμασία*) aangaande hun afkomst onderwerpen. Deze inschrijving had plaats in het 18e jaar.

11. *ἄλλοσέ ποι* te verbinden met: *ἐλθών*; bij *μετοικεῖν* aan te vullen het daarbij behoorende adverbium van rust.

18. *προτιθέντων*, voorstellen.

ποιεῖν, ἃ ἂν κελεύωμεν, ἀλλὰ ἐφιέντων δυοῖν θάτερα, ἢ πείθειν ἡμᾶς ἢ ποιεῖν, τούτων οὐδέτερα ποιεῖ.

Ταύταις δή φαμεν καὶ σέ, ὦ Σώκρατες, ταῖς αἰτίαις ἐνέξεσθαι, 14
εἴπερ ποιήσεις, ἃ ἐπινοεῖς, καὶ οὐχ ἥκιστα Ἀθηναίων σέ, ἀλλ' ἐν τοῖς μάλιστα. Εἰ οὖν ἐγὼ εἴποιμι· διὰ τί δή; ἴσως ἄν μου δικαίως καθάπτοιντο λέγοντες, ὅτι ἐν τοῖς μάλιστα Ἀθηναίων ἐγὼ αὐτοῖς ὡμολογηκὼς τυγχάνω ταύτην τὴν ὁμολογίαν. Φαῖεν γὰρ ἄν, ὅτι Ὦ
B *Σώκρατες, μεγάλα ἡμῖν τούτων τεκμήριά ἐστιν, ὅτι σοι καὶ ἡμεῖς ἠρέσκομεν καὶ ἡ πόλις· οὐ γὰρ ἄν ποτε τῶν ἄλλων Ἀθηναίων ἁπάντων διαφερόντως ἐν αὐτῇ ἐπεδήμεις, εἰ μή σοι διαφερόντως ἤρεσκεν, καὶ οὔτ' ἐπὶ θεωρίαν πώποτ' ἐκ τῆς πόλεως ἐξῆλθες οὔτε ἄλλοσε οὐδαμόσε, εἰ μή ποι στρατευσόμενος, οὔτε ἄλλην ἀποδημίαν ἐποιήσω πώποτε, ὥσπερ οἱ ἄλλοι ἄνθρωποι, οὐδ' ἐπιθυμία σε ἄλλης πόλεως οὐδὲ ἄλλων νόμων ἔλαβεν εἰδέναι, ἀλλὰ ἡμεῖς σοι*
C *ἱκανοὶ ἦμεν καὶ ἡ ἡμετέρα πόλις· οὕτω σφόδρα ἡμᾶς ᾑροῦ καὶ ὡμολόγεις καθ' ἡμᾶς πολιτεύσεσθαι, τά τε ἄλλα καὶ παῖδας ἐν αὐτῇ ἐποιήσω, ὡς ἀρεσκούσης σοι τῆς πόλεως. ἔτι τοίνυν ἐν αὐτῇ τῇ δίκῃ ἐξῆν σοι φυγῆς τιμήσασθαι, εἰ ἐβούλου, καὶ ὅπερ νῦν ἀκούσης τῆς πόλεως ἐπιχειρεῖς, τότε ἑκούσης ποιῆσαι· σὺ δὲ τότε μὲν ἐκαλλωπίζου ὡς οὐκ ἀγανακτῶν, εἰ δέοι τεθνάναι σε, ἀλλ'*

---

20. *τούτων οὐδέτερα ποιεῖ* neemt anakouluthisch *οὔτε πείθεται οὔτε πείθει ἡμᾶς* weer op.

Cap. XIV. **Vervolg.**

1. *ἐνέξεσθαι* — zich blootstellen aan.
2. *ἐν τοῖς μάλιστα*, sc. *ἐνεχομένοις*, cf. cap. 2. *ἐν τοῖς βαρύτατα.*
4. *καθάπτοιντο* — uitschelden.
8. *τῶν ἄλλων Ἀθηναίων ἁπάντων διαφερόντως* = prae ceteris Atheniensibus.
9. *ἐπὶ θεωρίαν*, om deel te nemen aan de nationale feesten, hetzij als gewoon toeschouwer, of als officieel gezant van den staat.
10. *στρατευσόμενος*, cf. Apol. c. 17, 2 en 3.
12. *εἰδέναι*, nadere verklaring van *ἐπιθυμία σε ἔλαβεν* = *ὥστε εἰδέναι.*
14. *ἐποιήσω*, anakoluthisch i. p. v.: *ποιούμενος.*
15. *ἔτι τοίνυν* = *ἔτι δὲ τοίνυν.*
16. *τιμήσασθαι*, cf. Apol. cap. 26 = voorstel doen bij het *ἀντίμημα.*
18. *ἐκαλλωπίζου* — pralen. *ἀλλ' ᾑροῦ*, i. p. v. *ἀλλ' αἱρούμενος.*

ἤρου, ὡς ἔφησθα, πρὸ τῆς φυγῆς θάνατον· νῦν δὲ οὔτ' ἐκείνους
τοὺς λόγους αἰσχύνει, οὔτε ἡμῶν τῶν νόμων ἐντρέπει, ἐπιχειρῶν
διαφθεῖραι, πράττεις τε, ἅπερ ἂν δοῦλος ὁ φαυλότατος πράξειεν, D
ἀποδιδράσκειν ἐπιχειρῶν παρὰ τὰς ξυνθήκας τε καὶ τὰς ὁμολογίας,
καθ' ἃς ἡμῖν ξυνέθου πολιτεύεσθαι. πρῶτον μὲν οὖν ἡμῖν τοῦτ'
αὐτὸ ἀπόκριναι, εἰ ἀληθῆ λέγομεν φάσκοντές σε ὡμολογηκέναι
πολιτεύεσθαι καθ' ἡμᾶς ἔργῳ, ἀλλ' οὐ λόγῳ, ἢ οὐκ ἀληθῆ. Τί
φῶμεν πρὸς ταῦτα, ὦ Κρίτων; ἄλλο τι ἢ ὁμολογῶμεν;

ΚΡ. Ἀνάγκη, ὦ Σώκρατες.

ΣΩ. Ἄλλο τι οὖν, ἂν φαῖεν, ἢ ξυνθήκας τὰς πρὸς ἡμᾶς αὐτοὺς
καὶ ὁμολογίας παραβαίνεις, οὐχ ὑπ' ἀνάγκης ὁμολογήσας οὐδὲ E
ἀπατηθεὶς οὐδὲ ἐν ὀλίγῳ χρόνῳ ἀναγκασθεὶς βουλεύσασθαι, ἀλλ'
ἐν ἔτεσιν ἑβδομήκοντα, ἐν οἷς ἐξῆν σοι ἀπιέναι, εἰ μὴ ἠρέσκομεν
ἡμεῖς μηδὲ δίκαιαι ἐφαίνοντό σοι αἱ ὁμολογίαι εἶναι. σὺ δὲ οὔτε
Λακεδαίμονα προῃροῦ οὔτε Κρήτην, ἃς δὴ ἑκάστοτε φῂς εὐνομεῖ-
σθαι, οὔτε ἄλλην οὐδεμίαν τῶν Ἑλληνίδων πόλεων οὐδὲ τῶν βαρ- 53
βαρικῶν, ἀλλ' ἐλάττω ἐξ αὐτῆς ἀπεδήμησας ἢ οἱ χωλοί τε καὶ
τυφλοὶ καὶ οἱ ἄλλοι ἀνάπηροι· οὕτω σοι διαφερόντως τῶν ἄλλων
Ἀθηναίων ἤρεσκεν ἡ πόλις τε καὶ ἡμεῖς οἱ νόμοι. νῦν δὲ δὴ οὐκ
ἐμμένεις τοῖς ὡμολογημένοις; ἐὰν ἡμῖν γε πείθῃ, ὦ Σώκρατες· καὶ
οὐ καταγέλαστός γε ἔσει ἐκ τῆς πόλεως ἐξελθών.

15 Σκόπει γὰρ δή, ταῦτα παραβὰς καὶ ἐξαμαρτάνων τι τούτων, τί ἀγαθὸν ἐργάσει σαυτὸν ἢ τοὺς ἐπιτηδείους τοὺς σαυτοῦ. ὅτι

---

23. *πρῶτον μὲν οὖν*, voortgezet door: *ἄλλο τι οὖν ἤ* (28).

26. *ἄλλο τι ἤ* = niet waar?

29. *παραβαίνεις*, vert.: gij zijt van plan te ....

31. *ἐν ἔτεσιν ἑβδομήκοντα*, cf. Apol. 1, 23.

33. *ἑκάστοτε*, als gij daarover n.l. spreekt.

38. *ἐὰν ἡμῖν πείθῃ*, het antwoord op de voorafgaande vraag (*ἐμμένεις*) wordt niet afgewacht, maar, als vanzelf sprekend, bevestigend vooropgesteld.

Cap. XV. **De wetten verklaren de vlucht voor nutteloos en gevaarlijk; bovendien zal Sokrates zijn vrienden en verwanten in gevaar brengen; in geen enkelen anderen staat zal hij zich thuis gevoelen.**

1. *ἐξαμαρτάνων*, participium praesens, omdat de fout, door de overtreding begaan, steeds aan hem blijft kleven.

μὲν γὰρ κινδυνεύσουσί γέ σου οἱ ἐπιτήδειοι καὶ αὐτοὶ φεύγειν καὶ στερηθῆναι τῆς πόλεως ἢ τὴν οὐσίαν ἀπολέσαι, σχεδόν τι δῆλον· αὐτὸς δὲ πρῶτον μὲν ἐὰν εἰς τῶν ἐγγύτατά τινα πόλεων ἔλθῃς,
B ἢ Θήβαζε ἢ Μεγαράδε — εὐνομοῦνται γὰρ ἀμφότεραι —, πολέμιος ἥξεις, ὦ Σώκρατες, τῇ τούτων πολιτείᾳ, καὶ ὅσοιπερ κήδονται τῶν αὑτῶν πόλεων, ὑποβλέψονταί σε διαφθορέα ἡγούμενοι τῶν νόμων, καὶ βεβαιώσεις τοῖς δικασταῖς τὴν δόξαν, ὥστε δοκεῖν ὀρθῶς τὴν
C δίκην δικάσαι· ὅστις γὰρ νόμων διαφθορεύς ἐστι, σφόδρα που δόξειεν ἂν νέων γε καὶ ἀνοήτων ἀνθρώπων διαφθορεὺς εἶναι. πότερον οὖν φεύξει τάς τε εὐνομουμένας πόλεις καὶ τῶν ἀνδρῶν τοὺς κοσμιωτάτους; καὶ τοῦτο ποιοῦντι ἆρα ἄξιόν σοι ζῆν ἔσται; ἢ πλησιάσεις τούτοις καὶ ἀναισχυντήσεις διαλεγόμενος — τίνας λόγους, ὦ Σώκρατες; ἢ οὕσπερ ἐνθάδε, ὡς ἡ ἀρετὴ καὶ ἡ δικαιοσύνη πλείστου ἄξιον τοῖς ἀνθρώποις καὶ τὰ νόμιμα καὶ οἱ νόμοι;
D καὶ οὐκ οἴει ἄσχημον ἂν φανεῖσθαι τὸ τοῦ Σωκράτους πρᾶγμα; οἴεσθαί γε χρή. ἀλλ' ἐκ μὲν τούτων τῶν τόπων ἀπαρεῖς, ἥξεις δὲ εἰς Θετταλίαν παρὰ τοὺς ξένους τοὺς Κρίτωνος· ἐκεῖ γὰρ δὴ πλείστη ἀταξία καὶ ἀκολασία, καὶ ἴσως ἂν ἡδέως σου ἀκούοιεν, ὡς γελοίως ἐκ τοῦ δεσμωτηρίου ἀπεδίδρασκες σκευήν τέ τινα περιθέμενος, ἢ διφθέραν λαβὼν ἢ ἄλλα, οἷα δὴ εἰώθασιν ἐνσκευάζεσθαι οἱ ἀποδιδράσκοντες, καὶ τὸ σχῆμα τὸ σαυτοῦ μεταλλάξας· ὅτι δὲ γέρων ἀνὴρ σμικροῦ χρόνου τῷ βίῳ λοιποῦ ὄντος, ὡς τὸ εἰκός,
E ἐτόλμησας οὕτω γλίσχρως ἐπιθυμεῖν ζῆν, νόμους τοὺς μεγίστους

---

4. ἢ — of ten minste. σχεδόν τι δῆλον — zoo goed als duidelijk.

5. αὐτὸς δὲ, de tegenstelling volgt in 31: ἀλλὰ δή. πρῶτον μέν, voortgezet met ἀλλ' ἐκ μὲν τούτων (18).

6. εὐνομοῦνται, cf. c. 14, 23.

12. καὶ τῶν ἀνδρῶν, καὶ h. l. verklarend = en daardoor.

13. ἄξιόν σοι ζῆν = βιωτόν (8, 3).

17. ἂν φανεῖσθαι, voor ἂν bij het futurum, vgl. Apol. 17, 26 ἤδη ἂν διαφθαρήσονται. τὸ ... πρᾶγμα, de rol.

21. σκευήν .... τινα περιθέμενος, zich verkleeden.

23. το σχῆμα .... μεταλλάξας, zich vermommen.

24. σμικροῦ = vermoedelijk slechts kort.

παραβάς, οὐδεὶς ὃς ἐρεῖ; ἴσως, ἂν μή τινα λυπῇς. εἰ δὲ μή,
ἀκούσει, ὦ Σώκρατες, πολλὰ καὶ ἀνάξια σαυτοῦ. ὑπερχόμενος δὴ
βιώσει πάντας ἀνθρώπους καὶ δουλεύων· τί ποιῶν ἢ εὐωχούμενος
ἐν Θετταλίᾳ, ὥσπερ ἐπὶ δεῖπνον ἀποδεδημηκὼς εἰς Θετταλίαν;
λόγοι δὲ ἐκεῖνοι οἱ περὶ δικαιοσύνης τε καὶ τῆς ἄλλης ἀρετῆς ποῦ 54
ἡμῖν ἔσονται; ἀλλὰ δὴ τῶν παίδων ἕνεκα βούλει ζῆν, ἵνα αὐτοὺς
ἐκθρέψῃς καὶ παιδεύσῃς; τί δέ; εἰς Θετταλίαν αὐτοὺς ἀγαγὼν θρέψεις
τε καὶ παιδεύσεις, ξένους ποιήσας, ἵνα καὶ τοῦτο σου ἀπολαύσωσιν;
ἢ τοῦτο μὲν οὔ, αὐτοῦ δὲ τρεφόμενοι σοῦ ζῶντος βέλτιον θρέψονται
καὶ παιδεύσονται, μὴ ξυνόντος σοῦ αὐτοῖς; οἱ γὰρ ἐπιτήδειοι οἱ σοὶ
πότερον, ἐὰν εἰς Θετταλίαν ἀποδημήσῃς, ἐπιμελήσονται, ἐὰν δὲ εἰς
Ἅιδου ἀποδημήσῃς, οὐχὶ ἐπιμελήσονται; εἴπερ γέ τι ὄφελος αὐτῶν
ἐστι τῶν σοι φασκόντων ἐπιτηδείων εἶναι, οἴεσθαί γε χρή. B

16 Ἀλλ', ὦ Σώκρατες, πειθόμενος ἡμῖν τοῖς σοῖς τροφεῦσι μήτε
παῖδας περὶ πλείονος ποιοῦ μήτε τὸ ζῆν μήτε ἄλλο μηδὲν πρὸ
τοῦ δικαίου, ἵνα εἰς Ἅιδου ἐλθὼν ἔχῃς πάντα ταῦτα ἀπολογήσασθαι τοῖς ἐκεῖ ἄρχουσιν· οὔτε γὰρ ἐνθάδε σοι φαίνεται ταῦτα
πράττοντι ἄμεινον εἶναι οὐδὲ δικαιότερον οὐδὲ ὁσιώτερον, οὐδὲ ἄλλῳ
τῶν σῶν οὐδενί, οὔτε ἐκεῖσε ἀφικομένῳ ἄμεινον ἔσται. ἀλλὰ νῦν

---

26. *οὐδείς*, sc. *ἔσται*. *εἰ δὲ μή*, na den negatieven zin hier = indien wel.

27. *ὑπερχόμενος*, met gebukt hoofd gaan, onderworpen.

28. *τί ποιῶν* = *τί ἄλλο ποιῶν*. *εὐωχούμενος*, Den Thessaliërs werd dikwijls hun materialistische levensopvatting verweten.

31. *τῶν παίδων ἕνεκα*, tegenstelling met *αὐτὸς δέ* (5).

34. *θρέψονται καὶ παιδεύσονται*, h. l. in passieve beteekenis.

36. *πότερον*, het tweede lid: of zullen zij in elk geval voor u zorgen is weggelaten. *εἰς Ἅιδου ἀποδημήσῃς*, cf. Apol. 32, 16.

Cap. XVI. **Ook in den Hades zal Sokrates zich, indien hij zich aan de wetten houdt, kunnen rechtvaardigen.**

2. *πρό*, cf. cap. 9.

4. *τοῖς ἐκεῖ ἄρχουσιν*. Minos, Rhadamanthys, Aiakos en Triptolemus. *οὔτε .... οὔτε* — zoo min als het goed voor u schijnt .... evenmin zal het, wanneer gij .... *σοι* hoort bij *ἄμεινον* en de volgende comparatieven, welke hier ongeveer positieve beteekenis hebben. *ταῦτα*, dat, wat Krito aanraadt.

C μὲν ἠδικημένος ἄπει, ἐὰν ἀπίῃς, οὐχ ὑφ' ἡμῶν τῶν νόμων, ἀλλὰ ὑπ' ἀνθρώπων· ἐὰν δὲ ἐξέλθῃς, οὕτως αἰσχρῶς ἀνταδικήσας τε καὶ ἀντικακουργήσας, τὰς σαυτοῦ ὁμολογίας τε καὶ ξυνθήκας τὰς πρὸς ἡμᾶς παραβὰς καὶ κακὰ ἐργασάμενος τούτους, οὓς ἥκιστα ἔδει, σαυτόν τε καὶ φίλους καὶ πατρίδα καὶ ἡμᾶς, ἡμεῖς τέ σοι χαλεπανοῦμεν ζῶντι, καὶ ἐκεῖ οἱ ἡμέτεροι ἀδελφοί, οἱ ἐν Ἅιδου νόμοι, οὐκ εὐμενῶς σε ὑποδέξονται, εἰδότες, ὅτι καὶ ἡμᾶς ἐπεχείρησας ἀπολέσαι τὸ σὸν μέρος, ἀλλὰ μή σε πείσῃ Κρίτων ποιεῖν,
D ἃ λέγει μᾶλλον ἢ ἡμεῖς.

Ταῦτα, ὦ φίλε ἑταῖρε Κρίτων, εὖ ἴσθι ὅτι ἐγὼ δοκῶ ἀκούειν, **17**
ὥσπερ οἱ κορυβαντιῶντες τῶν αὐλῶν δοκοῦσιν ἀκούειν, καὶ ἐν ἐμοὶ αὕτη ἡ ἠχὴ τούτων τῶν λόγων βομβεῖ καὶ ποιεῖ μὴ δύνασθαι τῶν ἄλλων ἀκούειν· ἀλλὰ ἴσθι, ὅσα γε τὰ νῦν ἐμοὶ δοκοῦντα, ἐὰν λέγῃς παρὰ ταῦτα, μάτην ἐρεῖς. ὅμως μέντοι, εἴ τι οἴει πλέον ποιήσειν, λέγε.

ΚΡ. Ἀλλ', ὦ Σώκρατες, οὐκ ἔχω λέγειν.

E ΣΩ. Ἔα τοίνυν, ὦ Κρίτων, καὶ πράττωμεν ταύτῃ, ἐπειδὴ ταύτῃ ὁ θεὸς ὑφηγεῖται.

---

7. *ἠδικημένος*, de wetten geven dus toe, dat Sokrates onrecht aangedaan is.

14. *τὸ σὸν μέρος*, cf. c. 5, 6.

Cap. XVII. **Daar de god den weg wijst, mag Sokrates van dezen niet afwijken.**

1. *ταῦτα*, deze woorden van de wetten.

2. *κορυβαντιῶντες*, naar Korybas, den zoon van Kybele, de Magna Mater Deorum, heetten de Phrygische priesters van deze godin *Κορύβαντες*. Het verbum *κορυβαντιᾶν* beteekent: 1⁰. deel nemen aan de Korybantenfeesten; 2⁰. aan een ziekte lijden, welke zich daarin uitte, dat de lijders gedaanten van bijzonderen aard meenden te zien en fluitmuziek te hooren, waardoor zij in extase kwamen.

4. *τῶν ἄλλων*, sc. *λόγων*. *ὅσα γε τὰ νῦν ἐμοὶ δοκοῦντα*, volgens mijn huidige meening ten minste.

5. *πλέον ποιήσειν* — iets uitrichten.

8. *ὁ θεός*, cf. c. 2, 8.

XVIII. **DAMSTÉ (P. H.)**, C. Sallustii Crispi Bellum Jugurthinum. 1892. 8°. . . . . *f* 1.—.

XIX. **DAMSTÉ (P. H.)**, C. Sallustii Crispi Bellum Catilinae accedunt ex Historiis orationes et Epistulae. 1893. 8°. *f* 0.85.

XX. **VAN DER VLIET** (J.), Vergilius' Aeneis. Afl. 6 (Lib. XI en XII). 1893. 8°. . . . . *f* 0.85.

XXI. **HARTMAN**, (J. J.), P. Ovidii Nasonis Metamorphoseon Libri XV. Met aanteekeningen voorzien. 1e Deeltje. 1893. 8°. . . . . *f* 1.10.

XXII. **HARTMAN**, (J. J.), P. Ovidii Nasonis Metamorphoseon Libri XV. Met aanteekeningen voorzien. 2e Deeltje. 1893. 8°. . . . . *f* 1.10.

XXIII. **HARTMAN**, (J. J.), P. Ovidii Nasonis Metamorphoseon Libri XV. Met aanteekeningen voorzien. 3e Deeltje, 1893. 8°. . . . . *f* 1.10.

XXIV. **VAN DER WEERD**, (W. G.), Sophocles' Antigone. Met inleiding en aanteekeningen voorzien. 1893. 8°. *f* 1.—.

XXV. **PUNT** (L.), Vier pleidooien van Isocrates. Met aanteekeningen voorzien. 1894. 8°. . . . . *f* 0.85.

XXVI. **WARREN** (S. J.), Plutarchus. Bloemlezing. Met aanteekeningen voorzien. 1895. 8°. . . . . *f* 1.20.

XXVII. **KRUYTBOSCH** (B.), Bloemlezing uit Ovidius' Epistulae ex Ponto. 1900. 8°. . . . . *f* 0.85.

XXVIII. **VAN IJSENDIJK**, (A.), Plautus, Mostellaria. Verkort en met aanteekeningen voorzien. 8°. . . . . . . *f* 0.70.

XXIX. **VAN ROOYEN**, (J. W.), Cicero, Oratio pro Sex. Roscio Amerino. Met aanteekeningen en inleiding voorzien. 8°. *f* 0.90.

XXX. **VAN ROOYEN**, (J. W.), Cicero, Oratio pro T. Annio Milone ad judices. Met inleiding en aanteekeningen voorzien. 8°. . . . . *f* 0.80.

XXXI. **VAN ROOYEN**, (J. W.), Cicero, Oratio pro L. Murena. Met inleiding en aanteekeningen voorzien. 8°. *f* 0.80.

XXXII. **VAN ROOYEN**, (J. W.), Cicero, Orationes in Catilinam. Met inleiding en aanteekeningen voorzien . . *f* 0.90.

XXXIII. **VAN ROOYEN**, (J. W.), Platonis Apologia Socratis. Met inleiding en aanteekeningen voorzien . . . *f* —.80.